12/03/2021

# Ένας χρόνος πριν: Η Δέηση της Εκκλησίας για τον κορωνοϊό

[Αυτοκέφαλες Εκκλησίες](#) / [Εκκλησία της Ελλάδος](#)



**Ήταν 12 Μαρτίου 2020, ακριβώς έναν χρόνο πριν όταν εκδόθηκε και αναρτήθηκε η ειδική δέηση της Εκκλησίας για τον κορωνοϊό.**

Πρόκειται για τη δέηση υπέρ της αποτροπής εξαπλώσεως της νόσου, την οποία είχε προαναγγείλει η Διαρκής Ιερά Σύνοδος της Εκκλησίας της Ελλάδος η οποία εψάλη την Κυριακή 15 Μαρτίου 2020, Β' Κυριακή των Νηστειών σε όλους τους

ιερούς ναούς πριν από την Απόλυση της Θείας Λειτουργίας.

## ΕΙΔΙΚΗ ΔΕΗΣΙΣ

### ΠΡΟΣ ΤΟΝ ΟΙΚΤΙΡΜΟΝΑ ΚΥΡΙΟΝ
### ΔΙΑ ΤΗΝ ΠΡΟΣΤΑΣΙΑΝ ΗΜΩΝ
### ΕΚ ΤΗΣ ΕΥΡΟΥΣΗΣ ΗΜΑΣ
### ΛΟΙΜΙΚΗΣ ΝΟΣΟΥ

Μετά τό «Εἴη τό ὄνομα Κυρίου...» θά ψαλῇ ἡ ὡς κάτωθι Δέησις:

Ὁ Ἱερεύς:

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός:

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ Λαός:

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν τῷ κράτει ἡμῶν· ὑπὲρ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, καὶ τῶν σωμάτων ἀσφαλείας τῆς πατρίδος ἡμῶν.

Ὁ Λαός:

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς·

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, καὶ πάντων τῶν ἐν ἀσθενείαις, λοιμοῖς καὶ θλίψεσιν εὑρισκομένων ἀδελφῶν ἡμῶν.

Ὁ Λαός·

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς·

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεόν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Λαός·

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Λαός·

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ὁ τῶν χειμαζομένων λιμήν, ῥύστης τε καὶ σωτήρ· ὁ μὴ ἐῶν ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα· ὁ ποιῶν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑ-

πενεγκεῖν. Πρόσδεξαι πάντας ἡμᾶς προσπίπτοντας ἐν μετανοίᾳ τοῖς οἰκτιρμοῖς Σου. Πολλαὶ γὰρ θλίψεις καὶ ὠδῖναι εὗρον ἡμᾶς καί πικρίᾳ πολλῇ συνεχόμεθα, ἀλλὰ μὴ παραδῷς ἡμᾶς εἰς τέλος ὁ τῶν Πατέρων Θεός.

Ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης ἀσθενείας, λοιμοῦ τε καὶ θλίψεως, ὅτι ἐπὶ σοὶ πεποίθαμεν τῷ ζῶντι Θεῷ.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς ὁ Θεός ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός: Ἀμήν.

Ὁ Ἱερεὺς ποιεῖ τὴν Ἀπόλυσιν τῆς Θείας Λειτουργίας.